Γ. ΛΑΜΠΑΚΗ

# ΕΥΧΗ

ἐπὶ τῇ εἰς Λάρισσαν ἀφίξει τῆς Ιης Μεραρχίας.

---

Ὕψιστε καὶ Αἰώνιε Βασιλεῦ! Σὲ αἰνοῦμεν, Σὲ δοξάζομεν, Σοὶ εὐχαριστοῦμεν καὶ Σὲ προσκυνοῦμεν ἐφ' οἷς ἐθαυμάστωσας ἡμῖν. Σὲ αἰνοῦμεν ὅτι ἐν τῇ Δυνάμει Σου ἠῦρυνας τὸν πιστότατον καὶ ὀρθόδοξον ἡμῶν Βασιλέα ΚΩΝΣΤΑΝΤΙΝΟΝ, ἐπισκιάσας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐν ἡμέρᾳ πολέμου, ἐνισχύσας αὐτοῦ τὸν Βραχίονα, κρατύνας Αὐτοῦ τὴν Βασιλείαν, καὶ ὑποτάξας αὐτῷ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα, νίκας αὐτῷ διὰ τοῦ τιμίου Σταυροῦ Σου δωρησάμενος.

Σὲ δοξάζομεν, ὅτι τὸν γενναῖον καὶ φιλόχριστον ἡμῶν Στρατόν, περιλάμπροις νίκαις ἐστεμμένον εἰς τοὺς κόλπους ἡμῶν ἐπανήγαγες.

Σοὶ εὐχαριστοῦμεν ὅτι Σὺ Κύριε τόξον δυνατὸν ἠσθένησας καὶ ἀσθενοῦντας περιεζῶσο δύναμιν, ὅτι Σὺ θανατοῖς καὶ ζωογονεῖς κατάγεις εἰς Ἅδου καὶ ἀνάγεις, πτωχίζεις καὶ πλουτίζεις, ταπεινοῖς καὶ ἀνυψοῖς ἀνιστᾷς ἀπὸ γῆς πένητα καὶ ἀπὸ κοπρίας ἐγείρεις πτωχόν, καθίζων αὐτὸν μετὰ Δυναστῶν λαοῦ.

Σὲ προσκυνοῦμεν καὶ τῷ ἁγίῳ θελήματι ταπεινῶς ὑποτασσόμεθα ἐφ' ᾧ Σοῦ δεόμεθα καὶ Σὲ ἱκετεύομεν, ἀνάπαυσον τὴν ψυχὴν τοῦ ἀειμνήστου Βασιλέως ἡμῶν ΓΕΩΡΓΙΟΥ τοῦ Α.' καὶ πάντων τῶν ὑπὲρ πίστεως καὶ Πατρίδος ἀγωνισαμένων καὶ πεσόντων ἀδελφῶν ἡμῶν, ἐν

βίβλῳ ζωῆς τὰ ὀνόματα αὐτῶν καταγράφων, ζωὴν τὴν ἀγήρω καὶ αἰωνίαν τὴν μνήμην αὐτοῖς παρεχόμενος.

Ναὶ Κύριε ὁ Θεὸς ἡμῶν, ἀξίωσον ἡμᾶς ἐν παντὶ Σὲ αἰνεῖν, Σὲ δοξάζειν καὶ Σοὶ εὐχαριστεῖν καὶ μεγάλην τὴν χώραν τῆς Ἑλλάδος πάλιν ἰδεῖν δι' ἧς ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ ἅπαν τὸ τῶν ἀνθρώπων γένος ἀπλέτῳ φωτὶ τῇ ἔσω καὶ θύ-

ραθεν σοφία ταύτης ἐφωτίσθη καὶ κατηυγάσθη.

Δίδου ἡμῖν Κύριε πίστιν φωτισμὸν γνώσεως καὶ εὐσεβείας, σκέπε ἐν τῇ δυνάμει Σου τὸν πιστότατον καὶ φιλόχριστον ἡμῶν Βασιλέα, σῶζε τὸ Ἔθνος, καὶ ἐνίσχυε τὸν φιλόχριστον καὶ γενναῖον ἡμῶν Στρατὸν πρὸς δόξαν τοῦ ἁγίου Σου θελήματος. Ἀμήν.

Ἀθῆναι 1913